κατεργάσασθαι πρᾶγμα θανάτων ἄξιον
πολλῶν.: (ΣΩ.) Ἄπολλον.: (ΓΟ.) Οὐ δίκαιόν ἐστι γοῦν
τὴν σὴν σχολὴν τοῖς ἀσχολουμένοις κακὸν
ἡμῖν γενέσθαι. Τῶν δ' ἁπάντων ἴσθ' ὅτι
πτωχὸς ἀδικηθεὶς ἐστι δυσκολώτατον·
πρῶτον μέν ἐστ' ἐλεεινός, εἶτα λαμβά[νει
οὐκ εἰς ἀδικίαν ὅσα πέπονθ' ἀλλ' εἰς [ὕβριν.
ΣΩΣΤΡ/ Μειράκιον, οὕτως εὐτυχοίης, βραχ[ύ τί μου
ἄκουσον. : (ΔΑ.) Εὖγε, δέσποθ'· οὕτω πολλά [σοι
ἀγαθὰ γένοιτο —: (ΣΩ.) Καὶ σύ γ' ὁ λαλῶν πρ[όσεχε δή.
[K̄]ς Κόρην τιν' εἶδο[ν ἐνθαδί· τ]αύτης ἐρῶ· Pl. 8
εἰ τοῦτ' ἀδίκημ' ἐ[νόμισ]ας, ἠδίκηκ' ἴσως.
Τί γὰρ ἄν τις εἴποι π[οτέ; Π]ορεύομ' ἐνθάδε
οὐχὶ πρὸς ἐκείνη[ν, βο]ύλομαι δ' αὐτῆς ἰδεῖν
τὸν πατέρ'. Ἐγὼ γά[ρ], ὢν ἐλεύθερος, βίον
ἱκανὸν ἔχων, ἕτοιμός εἰμι λαμβάνειν
αὐτὴν ἄπροικον, πίστιν ἐπιθεὶς διατελεῖν